www.tezaurliturgic.ro

\+

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΟΣΙΟΥ & ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΣΕΡΑΦΕΙΜ ΤΟΥ ΕΝ ΣΑΡΩΦ
(ἑορταζομένου τῇ 2ᾳ Ἰανουαρίου)




Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας

* Ἅγιον Ὄρος Ἄθως * ͵αϡοζ´ * ͵βια´ *



**ΤΗ͂ Β΄ ΤΟΥ ΜΗΝΟΣ ΙΑΝΟΥΑΡΙΟΥ**

**ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΣΕΡΑΦΕΙΜ ΤΟΥ ΕΝ ΣΑΡΩΦ**

* * *

**ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ**

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος.α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων ταγμάτων ζωὴν ἀσκήσαντα, ἐν σώματι πηλίνῳ, Σεραφεὶμ τὸν θεόπτην, ἀγγέλων σὺν χορείαις δεῦτε ὁμοῦ, εὐφημήσωμεν ᾄσμασι, τὴν γὰρ ὁδὸν τῆς θεώσεως ἐναργῶς, ἐκδιδάσκει ὁ φιλόθεος.

Ὁμωνυμῶν τοῖς πυρίνοις, νόοις Θεοῦ Σεραφείμ, ἐφάνης θεοφόρος, ἐπὶ γῆς ζῶν ἀσάρκως, ὡς μόνον τοῦ Κυρίου πάτερ ποθῶν, ἐκτελεῖν τὰ θελήματα, διὸ δικαίως ὡς ἅρμα προφητικόν, καὶ θεήλατόν σε ἔδειξεν.

Ἡ καθαρά σου καρδία, ὡς μέγα κάτοπτρον, ἐδέχθη τὰς ἐλλάμψεις, τῆς Ἁγίας Τριάδος, καὶ σκήνωμα ἐδείχθη τῶν δωρεῶν, Αὐτῆς Πάτερ χαρμόσυνε, ὧν καὶ ἡμᾶς νῦν ἱκέτευε δαψιλῶς, ἐμπλησθῆναι ἀγγελώνυμε.

Πρῶτον ἐν δάκρυσι σπείρας, νῦν δρέπεις χάριτος, ἀλήκτους ἀντιδόσεις, Σεραφεὶμ θεῖε μύστα, χαρᾶς ἐνθέου πάτερ ὅλος πλησθείς, πᾶσιν ἔλεγες· Χαίρετε, ὅτι ἀνέστη ὁ Κύριος ἀληθῶς, ἡ ἐμὴ χαρὰ ἡ ἄληκτος.

Δόξα, ὁ αὐτός.

Χαῖρε φαιδρῶς ἡ Ἐκκλησία τοῦ Χριστοῦ, χαῖρε ὡς γεννήσασα τὸν πνευματέμφορον πατέρα Σεραφείμ. Οὗτος γὰρ ἐσχάτοις χρόνοις, κήρυξ τρισθεόστομος τῆς θεώσεως ἐφάνη, πολλοὺς υἱοὺς καὶ θυγατέρας σοι γεννήσας, ὁ παρθενίας σύζυγος, Πνεύματος τῷ πυρὶ δὲ ἐκθρέψας ὁ φλογώνυμος καὶ ἀγγελόβιος. Διό σοι κράζομεν· Χαῖρε Μῆτερ καλλίτεκνε καὶ ἁγίων ἐργαστήριον.

Καὶ νῦν. Προεόρτιον τῶν Θεοφανείων.
Ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις, ῥεῖθρα περιβάλλεται σήμερον τὰ Ἰορδάνεια· καὶ τὴν ἐμὴν καθαίρεται κάθαρσιν, ὁ τοῦ κόσμου αἴρων τὴν ἁμαρτίαν· καὶ ὑπὸ τοῦ συγγενοῦς ἄνωθεν μαρτυρεῖται Πνεύματος, Υἱὸς μονογενὴς ὑπάρχων τοῦ ὑψίστου Πατρός· πρὸς Ὃν βοήσωμεν· Ὁ ἐπιφανεὶς καὶ σώσας ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Οἶκόν σε φωτεινόν, τοῦ Παρακλήτου Πάτερ, εἰδότες εὐφημοῦμεν, δεόμενοι τὴν χάριν, Αὐτοῦ ἡμῖν χαρίσασθαι.

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ...
Πῦρ τὸ θεοποιοῦν, ἐδέξω φλογοφόρον, καθάπερ θεῖον ἅρμα, οὗ ταῖς αὐγαῖς δροσίζεις, τοὺς πόθῳ εὐφημοῦντάς σε.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...
Ὄμμα σεραφεικόν, κἀμὲ δεῖξον ὦ Πάτερ, Θεοῦ τη ἐνοικήσει, ἵνα Αὐτὸν θεῶμαι, πυρὶ ὁλοκαυτούμενος.

Δόξα. Ἦχος ὁ αὐτός.
Ὢ ἁγιαστική, Τριάδος θεία χάρις, ἐνοίκησον πλουσίως, ἡμῖν τοῖς σὲ ποθοῦσιν, πρεσβείαις τοῦ Ὁσίου σου.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.
Ἕνα με ταπεινόν, σῆς γενεᾶς Παρθένε, ἀπόδειξον μεσίτην, προβάλλοντα τὸν λάτρην, σοῦ Σεραφεὶμ τὸν ἅγιον.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.
Σφραγὶς τοῦ Παρακλήτου, ἐσφράγισέ σε μάκαρ, καὶ τῶν δωρεῶν τῶν ἀκτίστων, ἀνέδειξε ταμίαν, ὡς ζῶντι ζωὴν ἀγγελικήν, φλογώνυμε πάτερ Σεραφείμ, καὶ μελλόντων τὰ μυστήρια ἐναργῶς, ἐντεῦθέν σοι ἐδίδαξε. Δόξα τῷ σὲ δοξάσαντι Θεῷ, δόξα τῷ θαυμαστώσαντι, δόξα τῷ ἁγιάζοντι ἡμᾶς, θείαις πρεσβείαις σου.

καὶ τὸ προεόρτιον. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.
Ἑτοιμάζου Ζαβουλών, καὶ εὐτρεπίζου Νεφθαλείμ. Ἰορδάνη ποταμέ, στῆθι ὑπόδεξαι σκιρτῶν, τοῦ βαπτισθῆναι ἐρχόμενον τὸν Δεσπότην. Ἀγάλλου ὁ Ἀδάμ, σὺν τῇ Προμήτορι· μὴ κρύπτετε ἑαυτούς, ὡς ἐν Παραδείσῳ τὸ πρίν· καὶ γὰρ γυμνοὺς ἰδὼν ὑμᾶς ἐπέφανεν, ἵνα ἐνδύσῃ τὴν πρώτην στολήν. Χριστὸς ἐφάνη, τὴν πᾶσαν κτίσιν, θέλων ἀνακαινίσαι.




**ΕΙΣ**
**ΤΟΝ**

**ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ**

Ἱστῶμεν στίχους ϛ΄ καὶ ψάλλομεν στιχηρὰ γ΄προεόρτια
Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Προεόρτια ᾄσματα, εὐσεβῶς προηχήσωμεν, τοῦ σεπτοῦ Βαπτίσματος, τοῦ Θεοῦ ἡμῶν· ἰδοὺ γὰρ μέλλει ὡς ἄνθρωπος, σαρκὶ παραγίνεσθαι, πρὸς τὸν Πρόδρομον αὐτοῦ, καὶ αἰτεῖσθαι τὸ Βάπτισμα, τὸ σωτήριον, εἰς ἀνάπλασιν πάντων τῶν ἐν πίστει, ἱερῶς φωτιζομένων, καὶ μετεχόντων τοῦ Πνεύματος.

Ὁ Χριστὸς ἀναδείκνυται· ὁ Θεὸς ἐπιφαίνεται· ὁ Δαυῒδ προέγραψεν ἐμφανέστατα· καὶ πρὸς τὸν δοῦλον τὸ Βάπτισμα, αἰτούμενος ἔρχεται· Ἰορδάνη ποταμέ, εὐφροσύνης πληρώθητι. Γῆ καὶ θάλασσα, οἱ βουνοὶ καὶ τὰ ὄρη, καὶ ἀνθρώπων, νῦν σκιρτήσατε καρδίαι, φῶς νοητὸν εἰσδεχόμεναι.

Ποταμὸν τῆς εἰρήνης σε, καὶ χειμάῤῥουν ὡς γέγραπται, τῆς τρυφῆς ὑπάρχοντα Παντοδύναμε, πῶς σε ποτάμια ῥεύματα, εἰσδέξονται Κύριε, ἐπιβαίνοντα γυμνόν, οὐρανοὺς τὸν τοῖς νέφεσι, περιβάλλοντα, καὶ γυμνώσαντα πᾶσαν τὴν κακίαν, τοῦ ἐχθροῦ καὶ ἀφθαρσίαν, τοὺς γηγενεῖς ἐπενδύσαντα;.

ἕτερα τοῦ Ὁσίου. Ἦχος α΄. Ὢ! τοῦ παραδόξου θαύματος.

Ὢ! τῶν δωρεῶν σου Κύριε, τῶν χαριζομένων πρὸς ἡμᾶς ἑκάστοτε, δι᾽ ὧν ἁγιοπρεπῶς, καὶ μυστικῶς εἰς ἀγάπην μυούμεθα, προσώπου σου τοῦ σεπτοῦ, καὶ ἐρασμίου σου κάλλους πληρούμεθα, ἔχοντες ἐξάρχους πλήθη, Πάντων τῶν Ἁγίων σου, ἐν οἷς πέλει ὁ πάνυ, Σεραφεὶμ ὁ πνευματόληπτος.

Ἔχρισεν ἡ Χάρις Δέσποτα, Σαμουὴλ ὡς ἄλλον, Σεραφεὶμ τὸν ὅσιον, οὐ κέρατι αἰσθητῷ, ἀλλὰ τῷ μύρῳ αὐτῆς καταλούσασα, θαυμάτων παντοδαπῶν, τὸ ἀσθενὲς ἐν πλήθύϊ ἐνίσχυε, καὶ ἱερωσύνῃ τοῦτον, ὅλως κατεκόσμησε, τὸν θυσίαν ὡς ζῶσαν, ἑαυτὸν ἐκ βρέφους δείξαντα.

Εὗρες ἐκλογῆς τὸ σκεῦός σου, Σεραφεὶμ τὸν ὄντως, τῷ πυρὶ καιόμενον, Παράκλητε ἀγαθέ, καὶ ποταμόν σου ἀπέδειξας ἔμπλεων, τῶν θείων ἐνεργειῶν, αἷς τὴν πληθὺν τῶν ἡμῶν παραπτώσεων, κάθαρον καὶ πῦρ τὸ σὸν ἐνίδρυσον, ἵνα χαίροντες δῶμεν, εὐσπλαγχνίᾳ σου τὴν αἴνεσιν.

Δόξα. Ἦχος β΄.

Πῶς ἐξείπω τοῦ θαυμαστοῦ Σεραφεὶμ τὴν ἐν σαρκὶ ἀγγέλων διαγωγήν, καὶ τὴν ἐν πηλίνῳ σώματι πνευματικὴν πολιτείαν; Ποίοις λόγοις τὸν ὑπὲρ λόπγον τῷ Λόγῳ ζήσαντα δοξάσω; Τίνι χαρμονικῇ μελῳδίᾳ τὸν χαρᾷ συζήσαντα ὑψώσω; ἀπορίᾳ πάντοθεν συνεχόμενος, τῇ Δεσποίνῃ μου Θεοτόκῳ τὸ μεγαλυνάριον παραχωρῶ. Χαίροις, λεγούσῃ, ἐκλεκτὲ τῆς γενεᾶς μου. Σκίρτα ἀγαλλόμενος καὶ ἀπόλαυε τῆς ἀλήκτου τρυφῆς, τῶν δὲ δεομένων σου πιστῶν τὰς αἰτήσεις προσδέχου, χαριζόμενος ἑκάστῳ τὸ συμφέρον τῇ ψυχῇ, καὶ τοῦ Ἁγίου Πνεύματος τὴν οἴκησιν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος πλ. β'.

Ἔρχεται πρὸς Ἰορδάνην, Χριστὸς ἡ ἀλήθεια, τοῦ βαπτισθῆναι ὑπὸ Ἰωάννου, καί φησι πρὸς αὐτόν· Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ Σὺ ἔρχῃ πρὸς μέ; οὐ τολμῶ ὁ χόρτος προσψαῦσαι τῷ πυρί· σὺ με ἁγίασον Δεσπότα, τῇ θείᾳ ἐπιφανείᾳ σου.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.

Τὰ ὁσιακὰ ἀναγνώσματα

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

(Κεφ. 3, 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ

εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. 5, 15-23 & 6, 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταί, περάτων γῆς, ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. 4, 7-15).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ

κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ**

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α΄

Τὴν καθαράν σου καρδίαν εὑρὼν ὁ Παράκλητος ἐμπρέπον οἰκητήριον, σκήνωμα ἅγιον σὲ Σεραφεὶμ ἐναπέδειξε. Καθαρτικοὺς γὰρ ἱδρῶτας οὐκ ἐξέχεας, ἀλλ' ἀγαπητικούς. Ὅτι τὸ κεκαθαρμένον φύσει οὐ καθαίρεται, ἀλλ' ἀπὸ δόξης εἰς δόξαν τῷ φωτὶ τῆς τριαδικῆς θεογνωσίας καταυγαζόμενον λαμπρῶς, θέσει Θεὸς χρηματίζει. Ὅθεν σε σήμερον τιμῶντες ὅσιε, ἱκετεύομεν μὴ ἐλλίπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν, ἔχεις γὰρ καὶ τὴν εὐάκουστον δέησιν πρὸς τοῖς ἄλλοις χαρίσμασιν.

Ἦχος β΄.

Τοῦ ζεύγους τῶν ναοδόμων τοκέων σου, οὐδὲν ἐστὶ τὸ πλῆθος τῶν ἀψύχων ναῶν, πρὸς τὸ καθολικὸν τῶν θεοειδῶν σου ἀρετῶν οἰκητήριον Ὅσιε. Ἐτίμησεν ὁ Θεὸς τοῦς δοξάσαντας αὐτὸν ἐν τοῖς Ἁγίοις. Ἐδόξασεν ὁ Κύριος τιμῇ ὑπερκοσμίῳ τοὺς γεννήσαντάς σε Ἅγιε. Διὸ τούτους μακαρίζοντες ἱκετεύομεν θερμῶς· δεῖξον ταῖς πρεσβείαις σου καὶ ἡμᾶς τῶν ἀρετῶν ἐργαστήρια, Σεραφεὶμ θεοδόξαστε.

Ἦχος γ΄.

Τῆς ἐν Χριστῷ ζωῆς διδάξας ὡς σκοπὸν τὴν κτῆσιν τοῦ Ἁγίου Πνεύματος, ὅσιε πάτερ Σεραφείμ, ὡς ὅλος γενόμενος Αὐτοῦ καθαρώτατον οἰκητήριον, καὶ τῶν χαρισμάτων σου κοινωνοὺς ποιούμενος τοὺς πέλοντάς σοι πιστῶς,

Παράδεισον ἀπέδειξας τὴν ἔρημον τοῦ Σαρώφ. Τὴν δὲ προπτωτικὴν ἀθωότητα κτησάμενος, τῆς ἀλόγου φύσεως θαυμαστῶς ἐκυριάρχεις, δεικνύων ἡμῖν τὴν μέλλουσαν κατάστασιν τῆς οὐρανῶν Βασιλείας, ἧς ἀξίωσον πάντας τοὺς τιμῶντάς σε, ἅγιε φιλανθρωπότατε.

Ἦχος δ΄.

Τῆς Ἐκκλησίας κοινὴ χαρὰ καὶ τρυφὴ ἡ πολιτεία σου, πάτερ Σεραφείμ, εἰ καὶ ἐν Ῥωσίᾳ σωματικῶς ἀνεβλάστησας. Μέλος γὰρ Χριστοῦ, καὶ δὴ πολυτίμητον, ἀνεδείχθης διὰ τῆς ἐν Αὐτῷ ἀδιαλείπτου εὐχητικῆς παραστάσεως. Διὸ εἰ καὶ ἀγνοοῦντες τὴν γλῶσσαν τοῦ παρόντος αἰῶνος, διδάσκαλον πλουτοῦμέν σε εἰς Θεόν, ἐκμελετῶντες τὰ θαυμάσια τοῦ βίου σου. Πρέσβευε Ὅσιε ἐκτενῶς, ἵνα λάβωμεν παρὰ Θεοῦ ἀπόμοιραν τῆς δόξης σου.

Δόξα. Ἦχος πλ.α΄.

Πάτερ ὁσιώτατε Σεραφείμ, ἔτι καὶ ἔτι χρεία προσευχῆς ὑπὲρ τοῦ χριστοσφραγίστου λαοῦ τοῦ Θεοῦ. Στῆθι, ἱκετεύομεν, οὐχὶ ἐπὶ πέτραν φθειρομένην, ἀλλὰ πρὸ τοῦ θρόνου τοῦ Θεοῦ καὶ πεπαῤῥησιασμένως ἔκφαινε τὰ ἐκ βαθέων. Χιλιοημερονύκτιος δέησις οὐκ ἐξαρκεῖ ἡμῖν φιλανθρωπότατε Γέρον, ἀλλ' ἀδιάλειπτος κραυγὴ πρὸς τὸν Κύριον Σαββαώθ. Οἶσθα καὶ τὴν ταλαιπωρίαν, ἀλλὰ καὶ τὸν τρόπον τῆς εὐχητικῆς συντυχίας πρὸς Θεόν. Ὅθεν γονυκλιτῶς λιτάζομέν σοι Ὅσιε, ὑπὲρ ἀφέσεως πταισμάτων, πορισμοῦ θεογνωσίας καὶ θεοειδοῦς διαγωγῆς.

Καὶ νῦν. Ἦχος α΄. Προεόρτιον. Ἰωάννου Μοναχοῦ.

Λαμπρὰ μὲν ἡ παρελθοῦσα ἑορτή, λαμπροτέρα δὲ Σωτὴρ ἡ ἐπερχομένη. Ἐκείνη ἄγγελον ἔσχεν εὐαγγελιστήν, καὶ αὕτη Πρόδρομον εὗρε προετοιμαστήν. Ἐν ἐκείνῃ, αἱμάτων ἐκχεομένων, ὡς ἄτεκνος ὠδύρετο ἡ Βηθλεέμ· ἐν ταύτῃ, ὑδάτων εὐλογουμένων, πολύτεκνος γνωρίζεται ἡ κολυμβήθρα. Τότε ἀστὴρ τοὺς Μάγους ἐμήνυσε, νῦν δὲ Πατὴρ κόσμῳ σε ὑπέδειξεν. Ὁ σαρκωθείς, καὶ πάλιν ἐρχόμενος ἐμφανῶς, Κύριε δόξα σοι.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.

Χαῖρε, ἡ Ἐκκλησία Χριστοῦ, ἁγιοτόκε Σεραφεὶμ ἡ ἐκθρέψασα, καὶ τοῦτον ἐσχάτοις χρόνοις, στήλην λαμπρὰν ἀρετῆς, καὶ θεοφιλίας ἀναδείξασα. Ἀντ' ἄρτῳ τῷ Πνεύματι, τεκνοτροφήσασα ἄγγελον, μᾶλλον δὲ ὅλον, τῷ πυρὶ τῆς θεώσεως, πῦρ ὡς δεύτερον, τοῖς ἀνθρώποις ἀπέστειλας. Ὅθεν ἐκκαθαιρόμενοι, πταισμάτων σκοτόμαιναν, ἀπολιμπάνοντες πόθῳ, ὀπίσω τούτου κολλώμεθα, καὶ χαίροντες Χάριν, Παρακλήτου ἐκτρυγῶμεν, καὶ ἀγαλλόμεθα.

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
Χαίρει, ὁ τῶν παρθένων χορός, τῆς παρθενίας σε ὁρῶν θεῖον σκήνωμα, ταμεῖόν τε ἡσυχίας, καὶ προσευχῆς καθαρᾶς, Σεραφεὶμ παμμάκαρ καὶ ὡς πρέσβυν σε, Τριάδι προβάλλεται, παῤῥησίαν ὡς ἔχοντα, καὶ ἐξαιτεῖται, θείου Πνεύματος λῆψίν τε, καὶ ἀλλοίωσιν, τοῦ γεώδους φρονήματος. Ὦ οὐρανόφρον Ὅσιε, φιλάνθρωπε ἅγιε, τῶν οἰκτιρμῶν σου τὰ σπλάγχνα, καὶ νῦν ἡμῖν ταχὺ ἄνοιξον, καὶ δίδου ἑκάστῳ, σαῖς πρεσβείαις τὸ συμφέρον, ψυχῆς καὶ λύτρωσιν.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.
Φύσει καὶ σοὶ οὐδὲν τὸ κοινόν. Τίς γὰρ συμφώνησις προσκαίρων πρὸς ἄφθαρτα; Ἐντεῦθεν χωρήσας Πάτερ, πρὸς οὐρανοῦ τὰς τρυφάς, πόνους καθ' ἡμέραν ἄλλο νόημα, ἐπέκεινα κείμενον, συνηθείας τῆς φύσεως, ἀγγελοτρόπως, σὺ ἐπλούτησας Ἅγιε, καὶ γὰρ ἤγεσο, παραδόξως τῷ Πνεύματι, Ὅπερ λαβὼν τρισόλβιε, μυρίας ὡδήγησας, ψυχὰς πρὸς τρίβον εὐθεῖαν, καὶ θείας γνώσεως εὕρεσιν, ὑφ' ὧν ἀντιδέχῃ, Σεραφεὶμ ὑμνολογίας εἰ καὶ τῷ ὄντι πτωχάς.

Δόξα. Ἦχος πλ.δ΄.

Ὅσον τὸν ἔξωθεν καὶ παλαιούμενον ἄνθρωπον φιλοθεΐᾳ ἔφθειρας, τόσον ὁ ἔσωθέν σου πάτερ Σεραφεὶμ ἐλαμπρύνθη. Διὸ καὶ ὡς λύχνος φωταυγὴς ἐπὶ τὴν λυχνίαν τῆς Ἐκκλησίας ἀνυψώθῃς, ἵνα λάμπῃς ζωοδότως τοῖς ἐν σκότει τῶν θολερῶν παθῶν εὑρισκομένοις. Ἐπλούτησας τὸ ὄνομα, ὑπερετίμησας τὴν κλῆσιν, ἐφαίδρυνας τὴν προσδοκῶσαν κληρονομίαν τοῦ Θεοῦ. Ὅθεν παντὸς ἡμετέρου ἐρευγήματος τοῦ πράγματος ὑστεροῦντος, ἐκτενῶς σε ἱκετεύομεν, ἵνα παράσχῃς ταῖς πρεσβείαις σου τὸ Πνεῦμα τὸ Ἅγιον.

Καὶ νῦν. Προεόρτιον, ὁμόηχον.
Ἰωάννη Βαπτιστά, ὁ ἐν μήτρᾳ γνωρίσας με τὸν Ἀμνόν, ἐν ποταμῷ μοι διακόνησον, μετὰ Ἀγγέλων μοι λειτούργησον· ἐκτείνας ἅψαι τῇ χειρί σου, τῆς κορυφῆς μου τῆς ἀχράντου· καὶ ὅταν ἴδῃς τὰ ὄρη τρέμοντα, καὶ τὸν Ἰορδάνην ἐπαναστραφέντα, σὺν τούτοις βόησον· Ὁ σαρκωθεὶς ἐκ Παρθένου, εἰς ἡμῶν σωτηρίαν, Κύριε δόξα σοι.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.
Ἀπολυτίκιον. Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Σφραγὶς τοῦ Παρακλήτου, ἐσφράγισέ σε μάκαρ, καὶ τῶν δωρεῶν τῶν ἀκτίστων, ἀνέδειξε ταμίαν, ὡς ζῶντι ζωὴν ἀγγελικήν, φλογώνυμε πάτερ Σεραφείμ, καὶ μελλόντων τὰ μυστήρια ἐναργῶς, ἐντεῦθεν σοι ἐδίδαξε. Δόξα τῷ σὲ δοξάσαντι Θεῷ, δόξα τῷ θαυμαστώσαντι, δόξα τῷ ἁγιάζοντι ἡμᾶς, θείαις πρεσβείαις σου.

ἕτερον, ποίημα (+)Γέρ. Γερασίμου Μικραγιαννανίτου.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.
Χριστῷ ἐκ νεότητος ἀκολουθήσας θερμῶς, εὐχαῖς καὶ δεήσεσιν ἐν τῇ ἐρήμῳ Σαρώφ, ὡς ἄσαρκος ἤσκησας· ὅθεν τοῦ Παρακλήτου, δεδεγμένος τὴν Χάριν, ὤφθης τῆς Θεοτόκου, θεοφόρος θεράπων. Διό σε μακαρίζομεν, Σεραφεὶμ πάτερ ὅσιε.

Προεόρτιον. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἑτοιμάζου Ζαβουλών, καὶ εὐτρεπίζου Νεφθαλείμ. Ἰορδάνη ποταμέ, στῆθι ὑπόδεξαι σκιρτῶν, τοῦ βαπτισθῆναι ἐρχόμενον τὸν Δεσπότην. Ἀγάλλου ὁ Ἀδάμ, σὺν τῇ Προμήτορι· μὴ κρύπτετε ἑαυτούς, ὡς ἐν Παραδείσῳ τὸ πρίν· καὶ γὰρ γυμνοὺς ἰδὼν ὑμᾶς ἐπέφανεν, ἵνα ἐνδύσῃ τὴν πρώτην στολήν. Χριστὸς ἐφάνη, τὴν πᾶσαν κτίσιν, θέλων ἀνακαινίσαι.

Ἀπόλυσις



**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

* * *

Μετὰ τὴν α´ στιχολογίαν. Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Φλογώνυμε πατήρ, ὡς λεπτὴ θεία αὖρα, ὁ βίος σου ἡμῖν, ἐκδιδάσκει τὸν τρόπον, δι’ οὗ τις ἐν Πνεύματι, τῷ Θεῷ οἰκειούμενος, ἀντιδέχεται, ἐνεργειῶν τῶν ἀκτίστων, χάριν ἄληκτον, θεοποιόν τε καὶ μένει, Τριάδος ἐκσφράγισμα.

Δόξα. Καὶ νῦν. Προεόρτιον, ὅμοιον.

Φορέσας τὴν ἐμήν, Ἰησοῦ μου πτωχείαν· πρόερχῃ σεαυτόν, τοῖς οἰκέταις μιγνύων, καὶ Βάπτισμα αἰτούμενος, ὑπὸ δούλου φιλάνθρωπε· ὅθεν βλέπων σε, ὁ Ἰωάννης ἐβόα· Πῶς βαπτίσω σε, ῥύπον μὴ ἔχοντα ὅλως, Θεὲ ὑπεράγαθε;.

Μετὰ τὴν β´ στιχολογίαν. Κάθισμα. Ἦχος Ταχὺ προκατάλαβε.

Εὐχὴν ὡς ἠγάπησας καὶ δι' αὐτῆς τῷ Θεῷ, τελείως συνήνωσαι μακαριώτατε, αὐτῇ χρῆσαι Ὅσιε, ἵνα παθῶν ποικίλων, τὰς παγίδας φυγόντες, Πνεύματος παναγίου, τῆς χαρᾶς ἐμπλησθῶμεν, καὶ ζῶντες ὡς τέκνα φωτός, ζωῆς ἐπιτύχωμεν.

Δόξα. Καὶ νῦν.Προεόρτιον, ὅμοιον.

Πτωχεύσας ὁ πλούσιος, δι' εὐσπλαγχνίαν πολλήν, ἡμᾶς τοὺς πτωχεύσαντας, δι' ἀκρασίαν ποτέ, πλουτίσαι βουλόμενος, ἔρχεται ἐπιβῆναι, Ἰορδάνου τοῖς ῥείθροις, καὶ ὑπὸ Ἰωάννου, προφανῶς βαπτισθῆναι. Ὑμνήσωμεν οὖν οἱ πιστοί, αὐτοῦ τὴν ταπείνωσιν.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.δ´. Τὴν Σοφίαν καὶ Λόγον.

Ὡς ταμίαν χαρίτων ὑπερφυῶν, ἀπορῶ πῶς τιμήσω σε ἀκριβῶς· ὡς ἄγγελος γὰρ ἔνσαρκος καὶ ἀσώματος ἔζησας, παιδιόθεν ποθήσας ἀζύγων συντάγματι, σεαυτὸν ἀναθῆναι, Χριστῷ ὥσπερ κάρπωμα. Ὅθεν ὑπὲρ φύσιν, καθ' ἡμέραν ἐχώρεις, εἰς θεῖα θεάματα, ἡσυχίᾳ εὐχόμενος, καὶ τῇ νύσσῃ κεντούμενος, πληρώματος Θεοῦ ἐντυχεῖν, Σεραφεὶμ παμμακάριστε, οὗ τρυφῶν νῦν ἀλήκτως, τιμώντων σε μέμνησο.

Δόξα. Καὶ νῦν.Προεόρτιον. Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὸν ἀκατάληπτον, σάρκα πτωχεύσαντα, καὶ πρὸς τὸ Βάπτισμα, παραγενόμενον, καὶ τὴν ἀνάπλασιν ἡμῶν, ἐν αὐτῷ ἐργαζόμενον, ἅπαντες ὑμνήσωμεν, ὡς Θεὸν πολυέλεον, καὶ τὴν συγκατάβασιν, τὴν αὐτοῦ μεγαλύνωμεν, βοῶντες εὐχαρίστῳ καρδίᾳ· Δόξα Χριστὲ τῇ ἐπιφανείᾳ σου.

Οἱ Ἀναβαθμοί. Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου· Ἐκ νεότητός μου.

Προκείμενον· Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχος· Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;

Εὐαγγέλιον, ὁσιακόν(βλ.τῇ 5ῃ Δεκεμβρίου τοῦ ὁσίου Σάββα)

Ὁ Ν΄ ψαλμός, Ἐλέησόν με ὁ Θεός.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα, στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β.

Στίχ. Ἐλέησόν με ὁ Θεός....

Πάτερ Σεραφείμ, πάντα τὰ παρόντα ἡγησάμενος ὡς οὐδέν,τῶν μακαρισμῶν τοῦ Χριστοῦ, τελείως ἐπέτυχες. Πόνοις ἑκουσίοις τε καὶ πειρασμοῖς ἀκουσίοις, ἀσκήσει ἐκτενεῖ καὶ προσευχῇ καθαρᾷ, τὸ φθαρτόν σου ἔνδυμα ἐκάθηρας, καὶ ἐγένου ἅρμα προφητικόν. Διὸ ὡς ἐπιτυχὼν τοῦ καθ' ὁμοίωσιν, πᾶσαν ἄλογον φύσιν ὑπέταξας, οὐ μὴν ἀλλὰ καὶ αὐτὴν τὴν Ἁγίαν Τριάδα εἰς ὑπακοὴν ἐπλούτησας ἀῤῥήτως. Ὅθεν σου τὴν μνήμην σέβοντες, πρέσβευε δεόμεθα, τῷ Κυρίῳ, ὑπὲρ ἡμῶν τρισόλβιε.

Ὁ προεόρτιος κανὼν καὶ ὁ παρὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς:

**"Φλέγοντι θείῳ Σεραφείμ, ὁ πηλώδης ᾄδει. Ἀ(θανάσιος)".**

ᾨδὴ α΄. Ἦχος πλ.δ΄.Ἁρματηλάτην φαραώ.

Φωτιστικαῖς σου ἀγλαΐαις φαίδρυνον, Θεὲ τρισήλιε, νοῦν ἐσκοτισμένον, πτωχοτάτου δούλου σου, καὶ κάθαρον τὰ χείλη μου, τῇ πυράγρᾳ τοῦ θείου, καὶ Παναγίου σου Πνεύματος, ὅπως Σεραφεὶμ ᾄσω ᾄσματα.

Λίκνῳ εἰσέτι ὢν Χριστὲ ὁ δοῦλός σου, σφράγισμα δέχεται, βάπτισμα τὸ θεῖον, καὶ καλεῖται Πρόχορος, προφητικὸν τὸ ὄνομα, ὡς ἐν ἔργοις ἐφάνη, ὅτι χωρήσας κατέλαβε, σὲ τῶν ἐφετῶν τὸ ἀκρότατον.

Ἔχων τὴν ῥίζαν ἀγαθὴν τρισόλβιε, κλάδος ἐφύης καλός, καὶ δενδροκομίᾳ, φιλοθέῳ ηὔξησας, καρποὺς δοὺς τῷ Κυρίῳ σου, πνευματόχυμον ξύλον, τὸν ὁρμαθὸν τῶν ἀγώνων σου, οἷς ἡμᾶς ἐκτρέφεις ἀείποτε.

Θεοτοκίον

Γένους σου Μῆτερ ἀγαθὴ ἠξίωσας, τοῦ ἐκλεκτοῦ ἐκ παιδός, Σεραφεὶμ παρθένων, ὅτε ἐθεράπευσας, ἐξ ἀσθενείας σώματος, καὶ βροχὴν χάριτός σου, ἣν ἐν τῷ μέλλοντι ἔβρεξας, τότε μυστικῶς προεικόνισας.

Καταβασία. Βυθοῦ ἀνεκάλυψε πυθμένα.

ᾨδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ὀλβία μῆτερ Σεραφείμ, ὅτι μεσίτην Τριάδι, ἀπεκύησας Ἀγάθη τῷ κόσμῳ, ὡς ἡ σαλὴ διὰ Χριστόν, προφητικῶς ᾐνίξατο, διάκονον λαοῦ σου, καὶ Ἐκκλησίας στερέωμα.

Νοῦν σου κολλήσας τῷ Θεῷ, Αὐτὸν διδάσκαλον ἔσχες, καὶ ἀκτίστοις ἐλλαμφθεὶς ἐνεργείαις, τὰς Γραφὰς ἐμμελετῶν, ἔλαβες κάλλος ἄφθαρτον, καὶ θεολόγος Πάτερ, ἀνθ᾽ ὧν περ ἔπαθες γέγονας.

Τῷ πόθῳ Πάτερ τοῦ Θεοῦ, καταφλεχθεὶς τὴν καρδίαν, ὁλικῶς σαυτὸν παρέδωκας πίστει, τὸν σταυρὸν ἀναλαβών, ἐπὶ τῶν ὤμων Ὅσιε, ὅτε εἰσῆλθες χαίρων, ἐρήμῳ Σάρωφ φιλέρημε.

Θεοτοκίον

Ἰδοὺ ὁ νέος σου Ἁγνή, λάτρης προσῆλθε προθύμως, τοῦ λαβεῖν τῆς παρθενίας τὸ σχῆμα, ἐν πολλῇ ὑπομονῇ, καὶ ἀλογίᾳ σώματος, ὅνπερ τῇ εὐδοκίᾳ, σοῦ περιέσκεπες Δέσποινα.

Καταβασία. Ἰσχὺν ὁ διδούς.

ἀναγινώσκεται τὸ προεόρτιον Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐν τοῖς ῥείθροις σήμερον τοῦ Ἰορδάνου, γεγονὼς ὁ Κύριος, τῷ Ἰωάννῃ ἐκβοᾷ· Μὴ δειλιάσῃς βαπτίσαι με· σῶσαι γὰρ ἥκω, Ἀδὰμ τὸν πρωτόπλαστον.

Ὁ Οἶκος.

Οὐκ ἀπαιτῶ σε, Βαπτιστά, τοὺς ὅρους ὑπερβῆναι· οὐ λέγω σοι· Εἰπέ μοι ἃ λέγεις τοῖς ἀνόμοις, καὶ παραινεῖς ἁμαρτωλοῖς· μόνον βάπτισόν με σιωπῶν, καὶ προσδοκῶν τὰ ὑπὸ τοῦ Βαπτίσματος· ἕξεις γὰρ διὰ τοῦτο ἀξίωμα, ὅπερ οὐχ ὑπῆρξε τοῖς Ἀγγέλοις· καὶ γὰρ πάντων τῶν Προφητῶν μείζονά σε ποιήσω· ἐκείνων μὲν οὐδεὶς σαφῶς με κατεῖδεν, ἀλλ' ἐν τύποις καὶ ἐν σκιαῖς καὶ ἐνυπνίοις· σὺ δέ, ἐπὶ σοῦ ἱστάμενον κατὰ γνώμην· σῶσαι γὰρ ἥκω, Ἀδὰμ τὸν πρωτόπλαστον.

Κάθισμα .Ἦχος γ΄. Θείας πίστεως.

Θαῦμα μέγιστον, ἡ βιοτή σου, θείαις νεύσεσιν, ὁδηγουμένη, καὶ δεχομένη ἀκολούθως τὰς χάριτας, δι' ὧν ὁσίων ἐγκαλλώπισμα ᾔσχυνας, ἀνθρωποκτόνον καὶ δεινὸν πολεμήτορα, συμμαχούμενος, Ἀγγέλων θείαις δυνάμεσι, καὶ τῶν Ἁγίων, ἁπάντων στρατεύμασι

Δόξα.Καὶ νῦν, προεόρτιον. Ἦχος πλ. δ'. Ἀνέστης ἐκ νεκρῶν.

Ἀόρατε Θεέ, ἀκατάληπτε Λόγε, ἐτέχθης ἐκ Πατρός, ὑπὲρ φύσιν καὶ λόγον· πάλιν δὲ ἐπ' ἐσχάτων, ἐκ τῆς Παρθένου οὐκ ἀλλοιώσας ὃ ἧς, ἔρχῃ καὶ ἐν τοῖς ῥείθροις, τοῦ Ἰορδάνου νῦν βαπτισθῆναι σαρκί, ὁ εὐδοκήσας σῶσαι ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων.

ᾨδὴ δ΄.Σύ μου ἰσχύς, Κύριε.

Θεοφεγγὲς ἔνδυμα, τῆς ἱερωσύνης, ὑπακούων δέδεξαι, ἀγγελικῶς συνιερουργῶν, τοῖς σεπτοῖς πατράσιν καὶ ἔλαβες ἀποκάλυψιν τῆς δόξης τοῦ Κυρίου, ὡς Στέφανος ὁ πρῶτος, χριστομαρτύρων τὸ θεμέλιον.

Εἰ καὶ πλουτῶν Ὅσιε, ἐν ταῖς θεωρίαις τῷ Θεῷ πτωχείαν σου, ὡς παριστῶν ἔλαβες διπλῆν, τῆς θεοφανείας, τὴν χάριν μεταμορφούμενος, φυλάξας ἐν ἀσύλῳ, τὸ δώρημα παμμάκαρ, τῇ ταπεινώσει ὡς κλείθρῳ χρησάμενος.

Ἴχνη Θεοῦ Ἅγιε, σὺ οὐ μόνον εἶδες, ἀλλ' Αὐτὸν ἐν χάριτι, διὸ ποθῶν εἶναι σὺν Αὐτῷ, τρέχεις ἐν ἐρήμῳ, ὡς ἔλαφος καταδίψαστος, ἐρῶν παρ' Οὗ ἠράσθης, ἡσύχῳ διανοίᾳ, τὰς ἐπιλάμψεις ὑποδέχεσθαι.

Θεοτοκίον

Ὥσπερ πτηνὸν ἄφροντι, Μῆτερ πανάχραντε, τῇ ἐρήμῳ, καλλιὰν ἐμπήγνυσι, ἀσκητικὴν ὁ σὸς ἐκλεκτός, μόνον πρὸς ἀγάπην, Υἱοῦ σου ἄγων πᾶν νόημα, εὐχῇ ἀδιαλείπτῳ, χιλίοις ἐν ἡμέραις, νυξί τε ἰσαρίθμοις, ἐν πέτρᾳ μένων ὥσπερ ἄσαρκος.

Καταβασία. Ἀκήκοε, Κύριε.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Σὸς διδάσκαλος Πάτερ, Πνεῦμα τὸ παράκλητον γνῶσιν ἄσυλον, ὅτε ἐν ἐρήμῳ, ἀπῆλθες καθυπηγόρευσε, τῶν μυστηρίων Θεοῦ, καθοδηγῶν πρὸς σοφίαν, ἐγκαινίζον χάριν σοι τὴν δυσεκφοίτητον.

Ἐν πολλῇ ἡσυχίᾳ, ὅλην σου τὴν ἔφεσιν πρὸς τὸν Κύριον, ἔστρεψας εὐχῇ τὴν ψυχήν σου ἐκτρέφων Ὅσιε, καὶ καθαρότητα προπτωτικήν, ἀποκτήσας ὥσπερ εἰς Παράδεισον Θεῷ συνήρμοσαι.

Ῥυπαρία ὅλως, ἤγγισε ψυχήν σου ἁγνήν μακάριε, ὅτι δ' ἀγάπην Κυρίου, νηστείαν ἤσκησας, διὸ τὸ σῶμά σου, ὑποταγὲν τῷ Ὑψίστῳ, δεκτικὸν κατέστησας, τοῦ θείου Πνεύματος.

www.tezaurliturgic.ro

Θεοτοκίον

Ἀκατάληπτον ὄντως! πῶς Παρθενομῆτορ ἡ κτίσις ἅπασα, δούλοις τοῦ Υἱοῦ σου, γνησίοις καθυποτάσσεται, ὅμως ἑρμήνευται, μετὰ τοῦ Πνεύματος λῆψιν, ὡς διδάσκει ἄριστα, ὁ Σεραφεὶμ τοῦ Σαρώφ.

Καταβασία. Ἰησοῦς, ὁ ζωῆς ἀρχηγός.

Ὠδὴ ϛ΄. Ἱλάσθητί μοι, Σωτὴρ..

Φαιδρότης ἡ τῆς ψυχῆς, ἰσόβιος τῷ προσώπῳ σου, ζωγράφος χαροποιός, θείας Ἀναστάσεως, Πάτερ σοι κεχάρισται, πῶς γὰρ ἄλλως ἔδειҳ ἡ Τριάς σοι κατεσκήνωσεν.

Ἐλευθερίας υἱός, ὡς ὢν πατέρων χαρμόσυνε, ἀθύρματα τοῦ ἐχθροῦ, γελοῖα ἀπέδειξας, θλάσας ἐν τῇ πέτρᾳ σου, κεφαλὰς δρακόντων, ὑπομένων σου τὸν Κύριον.

Ἰχνηλατῶν τῷ Χριστῷ, τοὺς σοὺς φονεῖς συνεχώρησας, ἀγάπῃ καρδιακῇ, Πάτερ ὁδηγούμενος, ἔνδικον ἀπόδοσιν, πᾶσαν τῷ Κυρίῳ, ἐκχωρῶν φιλανθρωπότατε.

Θεοτοκίον

Μαρία κλῆσις φαιδρά, ἡ ἰατρὸς παθημάτων μου, καὶ αὖθις σὸν Σεραφείμ, ξένως ἀπιάτρευσας, γενεᾶς σου Δέσποινα, ἐκλεκτὸν γεννάδα, ὑμνητήν σου δὲ γλυκύτατον.

Καταβασία. Ἡ φωνὴ τοῦ Λόγου.

Κοντάκιον. Ἦχος πλ.δ΄. Τὸ προσταχθέν.

Δυσέκμαρτός σου Κύριε ἡ δυναστεία,
ὅταν ψυχὰς ἡνιοχῶν ἀγάπῃ ἄγῃς,
πρὸς θεογνωσίαν σου καὶ διδασκαλίαν,

δεικνύεις ἀκαταλήπτως ὡς Σεραφείμ,
Σαρόφσκυ τὸν μανικόν σου ἐκζητητήν,
ᾧ ἀβύσσους ἀνοίξας σου,
τῆς Ἐκκλησίας χαράν,
ἀπέδειξας κραυγάζοντα·
Ἰησοῦ μου δοξάζω σε.

Ὁ Οἶκος

Ἅπας βίος Χριστέ μου, τῶν μυρίων Ἁγίων,
γλυκαίνει ἀκοὴν τῆς ψυχῆς μου.
Ὅτι ἐμφανῶς βεβαιοῦμαι τὴν ἄκραν φιλανθρωπίαν σου,
καὶ οἵους μεταποιεῖς τοὺς εἰλικρινῶς σε ποθοῦντας.
Ἀλλ' ὁ νῦν προκείμενος εἰς εὐφημίαν,
ὁ θεοδόξαστος λέγω Σεραφείμ,
ἐξιστᾷ μου τὸν νοῦν καὶ δέει μου τὸν λόγον.
Ὑπέρ τινα καὶ ἄλλον γάρ, λήπτης καὶ διδάσκαλος
τοῦ Παρακλήτου, ἀκριβέστατος γέγονεν,
ἀλογίᾳ σώματος, βίᾳ φύσεως διηνεκεῖ, ἄκρῳ θείῳ ἔρωτι,
καὶ ἐπαινετῇ φιλοθεομητορίᾳ, γέγονεν οἷος νῦν ἡμῖν πρόκειται.
Ὢ! πλοῦτος τῆς σῆς Ἐκκλησίας!
Ὢ! θησαυρὸς ἀσύλητος τοῦ διψῶντός σε λαοῦ,
τοῦ εὐγνωμόνως σοι κράζοντος!
Ἰησοῦ μου, δοξάζω σε.
Τὸ Συναξάριον

**Τῇ Β΄ τοῦ μηνὸς Ἰανουαρίου, τὴν μνήμην ἑορτάζομεν τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Σεραφείμ, τοῦ ἐν τῇ ἐρήμῳ Σαρὼφ τῆς Ῥωσίας θαυμαστῶς ἀσκήσαντος, πολλοῖς δὲ θαυμασίοις παρὰ Θεοῦ δοξασθέντος.**

Στίχοι
Πνεύματος ταμία, εὐχαῖς σου θείαις,
Οἴκημα σεπτὸν Αὐτοῦ ἀνάδειξόν με.
Βῇ ἀγγελόνους Σεραφεὶμ εἰς μοῖραν Θεοῦ χαίρων.

Ὑπόμνημα

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σιλβέστρου Πάπα Ῥώμης.

Στίχοι.

Ζωοῖ νεκρὸν βοῦν, αἰσχύνων Ζαμβρῆν Μάγον,
Ὁ καὶ νεκρὸς ζῶν, Σίλβεστρος Ῥώμης Πάπας.
Θυμὸν ἀποπνείει Σίλβεστρος δευτέρῃ ἠοῖ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Θεαγένους.

Στίχοι.

Θεάγενες, βλήθητι τοῦ πόντου μέσον,
Ὣ κἂν βυθισθῇς, ἔνδον ἐκνήξῃ πόλου.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι Θεόπεμπτος καὶ Θεοδότη, ἡ μήτηρ τῶν Ἁγίων Ἀναργύρων, ἐν εἰρήνῃ τελειοῦνται.

Στίχοι.

Τὸν Θεόπεμπτον σαρκικῆς λῦσαι πέδης,
Ἦλθον, Θεοῦ πέμψαντος, ἔμπυροι Νόες.
Νόσῳ παρῆλθε τὸν βίον Θεοδότη,
Νόσων λυτῆρας ἡ τεκοῦσα τῷ βίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Μᾶρκος ὁ κωφός, ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι.

Ὁ Μᾶρκος οὐκ ἤκουσε γηΐνων λόγων,
Καὶ πρὶν λιπεῖν γῆν, ὦτα γῆθεν ἐξάγων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἁγίου μάρτυρος Βασιλείου τοῦ ἐξ Ἀγκύρας.

Στίχοι.

Βρύχημα, χάσμα, δῆγμα θηρῶν ἀγρίων.
Βασιλείου τὸ πρᾶον οὐ κατεπτόει.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος μάρτυς Σέργιος ξίφει τελειοῦται.

Στίχοι.

Οὐχ οἷον εἰπεῖν, οὐδὲ γνῶσιν φέρειν,
Ὅσῃ χαρᾷ Σέργιος ἐτμήθη κάραν.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος μάρτυς Θεόπιστος, λιθοβοληθεὶς τελειοῦται.

Στίχοι.
Κτείνει σε Θεόπιστε πιστὲ τοῖς λίθοις,
Ἡ τῶν ἀπίστων πληθὺς ἐκ δυσβουλίας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κοσμᾶ, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ θαυματουργοῦ, τοῦ ἐν τῇ σεβασμίᾳ Μονῇ τῆς Χώρας.
Στίχοι
Διπλῆν ἔχων ἄνωθεν, Κοσμᾶ, χάριν,
Κόσμος μέγας πέφηνας ὑψηλοῦ θρόνου.

Μνήμη τοῦ ἁγίου νεομάρτυρος Γεωργίου ἢ Ζώρζη τοῦ Γκιουρτζῆ, ἐν Μυτιλήνῃ δι᾽ ἀγχόνης τελειωθέντος ἐν ἔτει αψο΄(1770).
Στίχοι.
Σὴν χεῖρα θλίβε ἀγχόνῃ, μάρτυς Ζώρζη,
Θλίψεις γὰρ οὕτω δυσμενῆ θλίψαντά σε.

**Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

ᾨδὴ ζ΄. Παῖδες ἑβραίων.

Ὁλωκαυτώθης τῇ ἀσκήσει, πολυφθόγγῳ σιωπῇ, Θεῷ τυγχάνων, ἀπ᾽ ἐντεῦθεν σοφέ, τοῦ μέλλοντος αἰῶνος, μυστήριον μυούμενος, ὡς οἱ Παῖδες Βαβυλῶνος.

Πόσις καὶ βρῶσις φθειρομένη, ἠλογίσθησαν ὅτε ἐν τῇ ἐρήμῳ, ἐγκλεισθεὶς Σεραφείμ, τὸν ἄρτον τῶν Ἀγγέλων, ἐλάμβανες παράδοξον, τοῖς πολλοῖς τοῦτο τυγχάνει.

Ἤχθης εἰς ὅρασιν θεόπτα, ὡς ἐζήτησας, μονῶν τῶν πρωτοτόκων, καὶ λαβὼν δωρεάν, μορφῆς δεδοξασμένης, τελείως ἐσιώπησας, ἐν φωτὶ τρυφῶν τὴν χάριν.

Θεοτοκίον

Λόγοις Παρθένε πῶς ὑμνήσω, τὴν εὐμένειαν, ἣν ἔσχες πρὸς σὸν δοῦλον, Σεραφεὶμ τὸν κλεινόν, ὃν πάλιν ἐν ἐρήμῳ, ἀπέστειλας τὴν ἄσκησιν, ἐπὶ πλέον ἐπιτείνειν.

Καταβασία. Νέους εὐσεβεῖς.

Ὠδὴ η΄.Τὸν ἐν ὄρει ἁγίῳ.
Ὠκειώθης Τριάδι τῇ ἁγίᾳ, καὶ ἐγένου λαμπρόν, ἐκμίμημα θεόφρον, ὅθεν πλήθη πιστοῦ, λαοῦ εἰς σωτηρίαν, ὡδήγησας καὶ ἄρχοντας, ὁ θανὼν διὰ τὸν κόσμον.

Δῶρα θεῖα ἀπέκρυπτες παμμάκαρ, ἢ ὡμίλεις, εὐθέως τοῖς ἀνθρώποις, χορηγῶν ὡς σοφός, ἑκάστῳ τὸ συμφέρον, ψυχῆς τε καὶ τοῦ σώματος, διακρίσει πνευματώδει.

Ἡ ζωή σου τοῖς πᾶσιν οὐκ ἐχώρει, νοουμένοις φθαρτά, καὶ Πνεύματος ἀγεύστοις, ἀλλὰ σὺ ἀκλινῶς, ἐχώρεις καθ' ἡμέραν, ἐκ δόξης εἰς λαμπρότητα, ὡς υἱὸς τῆς Βασιλείας.

Θεοτοκίον

Σεραφεὶμ ὁ γλυκύτατος Παρθένε, τὴν μεγίστην χαράν, ἁπάντων τῶν αἰώνων, ὀνομάσας κινεῖ, κἀμὲ εἰς σὴν ἀγάπην, ἥν μοι Κυρία δώρησαι, εἰ καὶ ἄθλιος τυγχάνω.

Καταβασία. Μυστήριον παράδοξον.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Ἀσμάτων εἰ συνάξω συναγωγήν, Σεραφεὶμ οὐ δυνήσομαι ᾆσαί σου, τὸν θαυμαστόν, ζῆλον ὅνπερ ἔδειξας εἰς πολλῶν, παρθενοζήλων σύναξιν, ἥνπερ τῇ Παρθένῳ υἱοπρεπῶς, ἀνέθηκας παρθένε, εἰς δόξαν τοῦ Κυρίου, ὡς Θεοτόκος σε ἐδίδαξε.

Δεσμοῦμαι τὴν καρδίαν ὁ ταπεινός, ὅταν λάβω εἰς νοῦν μου ἀλλοίωσιν, πνευματικήν, Πάτερ ἣν ἠλλοίωσαι

θαυμαστῶς, ἐκζητητοῦ ἐνώπιον, Πνεύματος Ἁγίου καὶ δειλιῶν, αἰτοῦμαι σαῖς πρεσβείαις, ἀκτῖνα Παρακλήτου, τὸν σκοτεινότατον αὐγάσαι με.

Ἐλήλυθεν ἡ ὥρα καθ' ἣν Θεῷ, παραστὰς οἰκονόμος πιστότατος, καὶ ὡς μισθόν, δέχῃ τὰ ποθούμενα ἐμφανῶς, ἡμῖν δὲ Πάτερ ἔλιπες, θείαν ὑποθήκην ὅτι πιστοῦ, σκοπός ἐστιν Ἁγίου, τοῦ Πνεύματος ἡ λῆψις, τοῦ ὄντως Φῶς φωτοχαρίτωτε.

Θεοτοκίον

Ἱμέρῳ τοῦ προσώπου σου κεντηθείς, εἰς καρδίαν οὐχ ἔξω ἀνάπαυσιν, Μῆτερ Θεοῦ, ἕως οὗ πιστώσῃς μου ἱκανῶς, τὴν σωτηρίαν Ἄχραντε, πρέσβυν δὲ προβάλλομαι ἐκλεκτόν, τὸν Σεραφεὶμ τὸν μέγαν, τῆς γενεᾶς σου ἕνα, καὶ τῆς ψυχῆς μου καταθύμιον.

Καταβασία. Μεγάλυνον ψυχή μου. Ἀπορεῖ πᾶσα γλῶσσα.

Ἐξαποστειλάρια
τοῦ Ὁσίου. Ἦχος β΄. Τοῖς Μαθηταῖς συνέλθωμεν.

καὶ τὸ προεόρτιον. Ἦχος β΄.Γυναῖκες ἀκουτίσθητε. Φωνὴ βοῶντος ἤχησε καὶ οἱ βουνοὶ σκιρτήσατε· χόρευσον γένος ἀνθρώπων· ὁ γὰρ προάναρχος Λόγος, σάρκα λαβὼν ὡς ἄνθρωπος, ἥκει βαπτισθησόμενος, ὑπὸ χειρῶν ὧν ἔπλασεν, ἐν Ἰορδάνῃ καὶ λύσων, τοῦ κόσμου τὴν ἁμαρτίαν.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ψάλλομεν στιχηρὰ προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ἐκαρδιώθην οὐ σθένω, καὶ αὖθις αἶνον φαιδρόν, προσαγαγεῖν σῷ δούλῳ, Τριὰς ἁγία οὐ σθένω· καὶ πῶς ἂν

νῦν δυναίμην χείλη ἐκ γῆς, κεκτημένος τὸν φλόγεον, καὶ οὐρανόφρονα ἄνθρωπον Σεραφείμ, ἐπαινέσαι ὁ ταλαίπωροςῃ

Διδασκαλεῖον πλουτεῖ σε, ἡ Ἐκκλησία Χριστοῦ, ἐκ πείρας διδαχήν σου, ἐρευγόμενον Πάτερ, τὸ Πνεῦμα γὰρ τὸ θεῖον ἔσχες ἀεί, ὑποφήτην καὶ ἄγοντα, εἰς μυστηρίων ἁπάντων τὴν ἐντρυφήν, πρωτοκτίστου κάλλους δόκιμε.

Ἀναστασίμοις ἐν ὕμνοις, κοίμησιν δέδεξαι, ἰσόβιον ὁ ἔχων, Ἀναστάσεως χάριν, ἐνώπιον Παρθένου τῆς σῆς χαρᾶς, τῆς εἰκόνος εὐχόμενος, καὶ ἐν φλογὶ εὐλαβείας πρὸς τὸν Θεόν, ὁ φλογώδης ἀνεχώρησας.

Δόξα. Ἦχος πλ.α΄.

Ὢ! τῶν ἀπείρων δωρεῶν σου Χριστέ! αἷς ὡς θελήσας ἐκόσμησας τὸν ἐκλεκτόν σου Σεραφείμ. Σφραγῖδι διεχώρησας τοῦ Πνεύματός σου, ὅν σε δοξάζει καθ' ἑκάστην ἀπαύστως, μετὰ τῶν ὁμωνύμων οὐρανίων δυνάμεων. Ἔλαβε πεῖραν τῆς ἐν Θαβὼρ Μεταμορφώσεώς σου, ἔγνω τὰς μονὰς τῶν σεσῳσμένων, ἐπλούτησε χάριν ἀνεκδιήγητον. Αὐτὸν οὖν προβαλλόμεθα καὶ ἡμεῖς κραταιότατον μεσίτην, ὑπὲρ λαοῦ σου μαρτυροῦντος, καὶ ποθοῦντος λαβεῖν τὸ Πνεῦμά σου.

Καὶ νῦν.Προεόρτιον, ὁμόηχον.

Τί ἀναχαιτίζεις σου τὰ ὕδατα ὦ Ἰορδάνη; τί ἀναποδίζεις τὸ ῥεῖθρον, καὶ οὐ προβαίνεις τὴν κατὰ φύσιν πορείαν; Οὐ δύναμαι φέρειν, φησί, πῦρ καταναλίσκον· ἐξίσταμαι, καὶ φρίττω τὴν ἄκραν συγκατάβασιν· ὅτι οὐκ εἴωθα τὸν καθαρὸν ἀποπλύνειν, οὐκ ἔμαθον τὸν ἀναμάρτητον ἀποσμήχειν, ἀλλὰ τὰ ῥερυπωμένα σκεύη ἐκκαθαίρειν. Ἀκάνθας φλέγειν με ἁμαρτημάτων διδάσκει, ὁ ἐν ἐμοὶ βαπτιζόμενος Χριστός· ὁ Ἰωάννης συμμαρτυρεῖ μοι· ἡ Φωνὴ τοῦ Λόγου βοᾷ· Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

Αὐτῷ πιστοὶ βοήσωμεν· Ὁ ἐπιφανεὶς Θεός, εἰς τὴν ἡμῶν σωτηρίαν, δόξα σοι.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου

Εἰς τὴν Θείαν Λειτουργίαν, Ἀποστολοευάγγελον τὰ ὁσιακά
(βλ.τῇ 5ῃ Δεκεμβρίου τὰ τοῦ ὁσίου Σάββα)
Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάρια
{τὰ δύο πρῶτα (+) Γέροντος Γερασίμου}

Χαίροις τῆς Ρωσίας γόνος λαμπρός, τέκνον τῆς ἐρήμου, μοναζόντων ὑπογραμμός, Πνεύματος τὴν κτῆσιν, σκοπὸν ζωῆς κηρύττων, ὦ Σεραφεὶμ τοῦ Σάρωφ, ἄνθος μυρίπνοον.

Ὅλος ἀνακείμενος τῷ Χριστῷ, χαρίτων τῶν θείων, ἀναδέδειξαι θησαυρός, θαύμασι καὶ λόγοις, καὶ θείαις ὑποθήκαις, ὦ Σεραφεὶμ παμμάκαρ, φωτίζων ἅπαντας.

Δώρησαι εὐχαῖς σου ὦ Σεραφείμ, τοῖς ἐπιζητοῦσι, χαρισμάτων σου ὁρμαθόν, ἵνα ἀνυμνῶμεν, Τριάδα τὴν ἁγίαν, τὴν σὲ τῇ Ἐκκλησίᾳ, πρέσβυν ἐνδείξασαν.

Στίχοι



Συνετέθη, σὺν Θεῷ ἁγίῳ, τὸ πρῶτον ἡ παροῦσα Ἀκολουθία ἐν τῇ Ἱερᾷ Μονῇ Κωνσταμονίτου κατὰ τὸ ἔτος 1977 καὶ ἀναθεωρηθεῖσα ἀνεδομήθη αὖθις ἐπὶ τὸ βέλτιον ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας, Ἁγίου Ὄρους Ἄθω, τῇ 19. 7. 2011.